4ο ΓΕ.Λ.ΚΕΡΚΥΡΑΣ 15-3-2012

**ΕΠΑΝΑΛΗΠΤΙΚΟ ΔΙΑΓΩΝΙΣΜΑ ΣΤΑ ΑΡΧΑΙΑ ΘΕΩΡΗΤΙΚΗΣ ΚΑΤΕΥΘΥΝΣΗΣ Γ΄ ΛΥΚΕΙΟΥ**

**Α. ΚΕΙΜΕΝΟ** ΑΡΙΣΤΟΤΕΛΟΥΣ, *ΗΘΙΚΑ ΝΙΚΟΜΑΧΕΙΑ Β 3, 1-2 & Β 6, 1-4*

Σημεῖον δὲ δεῖ ποιεῖσθαι τῶν ἕξεων τὴν ἐπιγινομένην ἡδονὴν ἢ λύπην τοῖς ἔργοις· ὁ μὲν γὰρ ἀπεχόμενος τῶν σωματικῶν ἡδονῶν καὶ αὐτῷ τούτῳ χαίρων σώφρων, ὁ δ' ἀχθόμενος ἀκόλαστος, καὶ ὁ μὲν ὑπομένων τὰ δεινὰ καὶ χαίρων ἢ μὴ λυπούμενός γε ἀνδρεῖος, ὁ δὲ λυπούμενος δειλός. Περὶ ἡδονὰς γὰρ καὶ λύπας ἐστὶν ἡ ἠθικὴ ἀρετή· διὰ μὲν γὰρ τὴν ἡδονὴν τὰ φαῦλα πράττομεν, διὰ δὲ τὴν λύπην τῶν καλῶν ἀπεχόμεθα. Διὸ δεῖ ἦχθαί πως εὐθὺς ἐκ νέων, ὡς ὁ Πλάτων φησίν, ὥστε χαίρειν τε καὶ λυπεῖσθαι οἷς δεῖ· ἡ γὰρ ὀρθὴ παιδεία αὕτη ἐστίν. [...]

Δεῖ δὲ μὴ μόνον οὕτως εἰπεῖν, ὅτι ἕξις, ἀλλὰ καὶ ποία τις. Ῥητέον οὖν ὅτι πᾶσα ἀρετή, οὗ ἂν ᾖ ἀρετή, αὐτό τε εὖ ἔχον ἀποτελεῖ καὶ τὸ ἔργον αὐτοῦ εὖ ἀποδίδωσιν, οἷον ἡ τοῦ ὀφθαλμοῦ ἀρετὴ τόν τε ὀφθαλμὸν σπουδαῖον ποιεῖ καὶ τὸ ἔργον αὐτοῦ· τῇ γὰρ τοῦ ὀφθαλμοῦ ἀρετῇ εὖ ὁρῶμεν. Ὁμοίως ἡ τοῦ ἵππου ἀρετὴ ἵππον τε σπουδαῖον ποιεῖ καὶ ἀγαθὸν δραμεῖν καὶ ἐνεγκεῖν τὸν ἐπιβάτην καὶ μεῖναι τοὺς πολεμίους. Εἰ δὴ τοῦτ' ἐπὶ πάντων οὕτως ἔχει, καὶ ἡ τοῦ ἀνθρώπου ἀρετὴ εἴη ἂν ἡ ἕξις ἀφ' ἧς ἀγαθὸς ἄνθρωπος γίνεται καὶ ἀφ' ἧς εὖ τὸ ἑαυτοῦ ἔργον ἀποδώσει. Πῶς δὲ τοῦτ' ἔσται,... ὧδ' ἔσται φανερόν, ἐὰν θεωρήσωμεν ποία τίς ἐστιν ἡ φύσις αὐτῆς.

**ΠΑΡΑΤΗΡΗΣΕΙΣ**

1. *Σημεῖον δέ δεῖ ποιεῖσθαι τῶν ἕξεων … ὀρθή παιδεία αὕτη ἐστίν.*
   Να μεταφράσετε το απόσπασμα στη νέα ελληνική.

   **Μονάδες 10**

2. Να παρουσιάσετε τη θεωρία του Αριστοτέλη για την ψυχή και να τη συσχετίσετε με τη διδασκαλία του για τα είδη των αρετών.

   **Μονάδες 10**

3. *Περί ἡδονάς γάρ καί λύπας ἐστίν ἡ ἠθική ἀρετή.*
   Ο Αριστοτέλης θεωρείται από πολλούς θεμελιωτής της ψυχολογίας. Συμφωνείτε με την άποψη αυτή; Να αιτιολογήσετε την απάντησή σας.

   **Μονάδες 10**

**4.** Ποιο είναι, σύμφωνα με τον Αριστοτέλη, το κριτήριο για τη διαμόρφωση των έξεων και πώς το συγκεκριμενοποιεί;

**Μονάδες 10**

**5.** *Ῥητέον οὖν ὅτι πᾶσα ἀρετή … καὶ μεῖναι τοὺς πολεμίους.*

Ποια είναι η ειδοποιός διαφορά της αρετής από τις άλλες έξεις;

Σε ποιο σημείο γίνεται αναφορά στον τελολογικό τρόπο σκέψης του Αριστοτέλη;

**Μονάδες 10**

**6.** Να γράψετε δύο απλά ή σύνθετα ομόρριζα της νέας ελληνικής για καθεμία από τις παρακάτω λέξεις του κειμένου:

**Ἧχθαι, ῥητέον, ἐνεγκεῖν, ὁρῶμεν, ἕξις.**

**Μονάδες 10**

## Β. ΑΓΝΩΣΤΟ ΚΕΙΜΕΝΟ, ΠΛΑΤΩΝΟΣ *ΜΕΝΕΞΕΝΟΣ* 13

Μετὰ δὲ ταῦτα πολλοῦ πολέμου γενομένου καὶ πάντων τῶν Ἑλλήνων ἐπιστρατευσάντων καὶ τεμόντων τὴν χώραν καὶ ἀναξίαν χάριν ἐκτινόντων τῇ πόλει, νικήσαντες αὐτοὺς ναυμαχίᾳ οἱ ἡμέτεροι καὶ λαβόντες αὐτῶν τοὺς ἡγεμόνας Λακεδαιμονίους ἐν τῇ Σφαγίᾳ, ἐξὸν αὐτοῖς διαφθεῖραι ἐφείσαντο καὶ ἀπέδοσαν καὶ εἰρήνην ἐποιήσαντο, ἡγούμενοι πρὸς τὸ ὁμόφυλον μέχρι νίκης δεῖν πολεμεῖν καὶ μὴ δι' ὀργὴν ἰδίαν πόλεως τὸ κοινὸν τῶν Ἑλλήνων διολλύναι, πρὸς δὲ τοὺς βαρβάρους *μέχρι διαφθορᾶς*. Τούτους δὴ ἄξιον ἐπαινέσαι τοὺς ἄνδρας, οἳ τοῦτον τὸν πόλεμον πολεμήσαντες ἐνθάδε κεῖνται, ὅτι ἐπέδειξαν, εἴ τις ἄρα ἠμφεσβήτει ὡς ἐν τῷ προτέρῳ πολέμῳ τῷ πρὸς τοὺς βαρβάρους ἄλλοι τινὲς εἶεν ἀμείνους Ἀθηναίων, ὅτι οὐκ ἀληθῆ ἀμφισβητοῖεν·

1. Να μεταφράσετε το παραπάνω κείμενο.

**Μονάδες 20**

2. Να γράψετε τον τύπο που ζητείται για καθεμία από τις παρακάτω λέξεις:

   α. **ἡγεμόνας:** τη δοτική στον ίδιο αριθμό
   β. **ἄνδρας:** την κλητική ενικού
   γ. **τινές:** την ονομαστική πληθυντικού του ουδετέρου
   δ. **ἀμείνους:** την ιδια πτώση στον υπερθετικό βαθμό
   ε. **τεμόντων:** το α΄ πρόσωπο της οριστικής πληθυντικού στον ίδιο χρόνο
   στ. **διαφθεῖραι:** το β΄ενικό πρόσωπο της προστακτικής στον ίδιο χρόνο
   ζ. **ἀπέδοσαν:** το απαρέμφατο του ίδιου χρόνου
   η. **διολλύναι:** το β΄ενικό πρόσωπο της υποτακτικής στον ίδιο χρόνο
   θ. **εἶεν:** το β΄ ενικό πρόσωπο της οριστικής μέλλοντα
   ι. **ἀμφισβητοιεν:** το β΄ πληθυντικό πρόσωπο της οριστικής παρατατικού

**Μονάδες 10**

3. α. Να χαρακτηρίσετε πλήρως τη συντακτική λειτουργία των παρακάτω όρων:

   **τεμόντων, ναυμαχία, αὐτῶν, ἐξόν, αὐτοῖς, διαφθεῖραι, Ἀθηναίων.**

**Μονάδες 7**

   β. Να χαρακτηρίσετε πλήρως τις προτάσεις στις οποίες ανήκουν τα ρήματα:

   **ἐπέδειξαν, ἠμφεσβήτει.**

**Μονάδες 3**